# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΠΙΦΑΝΙΟΥ

ἐπισκόπου Κύπρου πρὸς Διόδωρον ἐπίσκοπον Τύρου περὶ τῶν ιβ. λίθων, τῶν ὄντων ἐν τοῖς στολισμοῖς τοῦ Ἀαρὼν, Βιβλίον.

*Marginibus quædam ex coniectura adscripsimus: idq; monemus, ne quis diuersam lectionem aliorũ Codicum existimet.*

ΗΤΗΣΑΣ (πρὸς ἐμοῦ) τιμιώτατε (Διόδωρε) περὶ τῶν ἐν τῷ λογίῳ τε ἐπωμίδος τοῦ ἱερέως ἐπὶ τοῦ στήθους Ἀαρὼν, προστεταγμένων τότε ἐμπεπορπῆσθαι λίθων, τάς τε ὀνομασίας, τάς τε χρόας, εἴτ᾽ οὖν ἰδέας, τούς τε τόπους, καὶ τὰς εἰς θεοσέβειαν φερούσας τῶν αὐτῶν λίθων θεωρίας: καὶ ἕκαστος λίθος, ὑπὲρ ποίας φυλῆς ἐτέτακτο: πόθεν τε εὕρηται ἢ ποίας πατρίδος. †

*Deest aliquid, & sententia pendet.*

Τετραχῆ δὲ διαιρεῖται τὸ λόγιον, καὶ αὐτὸ τετράγωνον, σπιθαμῆς τὸ μῆκος ἢ εὖρος ὁμοίως. Τοῦ μὲν πρώτου στίχου πρῶτος λίθος

σάρ-